# 144. THE TRIUMPHAL ENTRY (Matt-Mk Inclusions)

| Matt 21:1-11 | Mark 11:1-11 |
|---|---|
| *Καὶ ὅτε ἤγγισαν* | *Καὶ ὅτε ἐγγίζουσιν* |
| *εἰς Ἱεροσόλυμα* | *εἰς Ἱεροσόλυμα* |
| *καὶ ἦλθον εἰς Βηθφαγὴ* | *εἰς Βηθφαγὴ καὶ Βηθανίαν* |
| *εἰς τὸ Ὄρος τῶν* | *πρὸς τὸ Ὄρος τῶν* |
| *Ἐλαιῶν,* | *Ἐλαιῶν,* |
| *τότε Ἰησοῦς ἀπέστειλεν* | *ἀποστέλλει* |
| *δύο μαθητὰς* | *δύο τῶν μαθητῶν αὐτοῦ* |
| *2 λέγων αὐτοῖς,* | *2 καὶ λέγει αὐτοῖς,* |
| *Πορεύεσθε* | *Ὑπάγετε* |
| *εἰς τὴν κώμην τὴν κατέναντι* | *εἰς τὴν κώμην τὴν κατέναντι* |
| *ὑμῶν,* | *ὑμῶν,* |
| *καὶ εὐθέως* | *καὶ εὐθὺς* |
| | *εἰσπορευόμενοι εἰς αὐτὴν* |
| *εὑρήσετε ὄνον* | *εὑρήσετε* |
| *δεδεμένην καὶ πῶλον μετ αὐτῆς·* | *πῶλον δεδεμένον* |
| | *ἐφ ὃν οὐδεὶς οὔπω ἀνθρώπων* |
| | *ἐκάθισεν·* |
| *λύσαντες ἀγάγετέ μοι.* | *λύσατε αὐτὸν καὶ φέρετε.* |
| *3 καὶ ἐάν τις ὑμῖν εἴπῃ* | *3 καὶ ἐάν τις ὑμῖν εἴπῃ,* |
| *τι, ἐρεῖτε ὅτι* | *Τί ποιεῖτε τοῦτο εἴπατε,* |
| *Ὁ κύριος αὐτῶν χρείαν ἔχει·* | *Ὁ κύριος αὐτοῦ χρείαν ἔχει,* |
| *εὐθὺς δὲ ἀποστελεῖ αὐτούς.* | *καὶ εὐθὺς αὐτὸν ἀποστέλλει πάλιν ὧδε.* |
| *4 Τοῦτο δὲ γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος,* | |
| *5 Εἴπατε τῇ θυγατρὶ Σιών,* | |
| *Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι,* | |
| *πραυς καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον,* | |
| *καὶ ἐπὶ πῶλον υἱὸν ὑποζυγίου.* | |
| *6 πορευθέντες δὲ* | *4 καὶ ἀπῆλθον* |
| *οἱ μαθηταὶ* | |
| *καὶ ποιήσαντες* | |
| | *καὶ εὗρον* |
| *καθὼς συνέταξεν αὐτοῖς* | |
| *ὁ Ἰησοῦς* | |
| | *πῶλον δεδεμένον πρὸς θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου,* |
| | *καὶ λύουσιν* |
| | *αὐτόν.* |

| | |
|---|---|
| | 5 καί τινες τῶν ἐκεῖ ἑστηκότων |
| | ἔλεγον αὐτοῖς, |
| | Τί ποιεῖτε λύοντες |
| | τὸν πῶλον |
| | 6 οἱ δὲ εἶπαν αὐτοῖς |
| | καθὼς εἶπεν ὁ Ἰησοῦς· |
| | καὶ ἀφῆκαν αὐτούς. |
| 7 ἤγαγον τὴν ὄνον καὶ | 7 καὶ φέρουσιν |
| τὸν πῶλον, | τὸν πῶλον |
| | πρὸς τὸν Ἰησοῦν, |
| καὶ ἐπέθηκαν ἐπ αὐτῶν | καὶ ἐπιβάλλουσιν αὐτῷ |
| τὰ ἱμάτια, | τὰ ἱμάτια αὐτῶν, |
| ̀και ἐπεκάθισεν ἐπάνω αὐτῶν. | καὶ ἐκάθισεν ἐπ αὐτόν. |
| 8 ὁ δὲ πλεῖστος ὄχλος | 8 καὶ πολλοὶ |
| ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια | τὰ ἱμάτια αὐτῶν ἔστρωσαν |
| ἐν τῇ ὁδῷ, | εἰς τὴν ὁδόν, |
| ἄλλοι δὲ ἔκοπτον κλάδους | ἄλλοι δὲ στιβάδας κόψαντες |
| ἀπὸ τῶν δένδρων | ἐκ τῶν ἀγρῶν. |
| καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. | |
| 9 οἱ δὲ ὄχλοι οἱ προάγοντες | 9 καὶ οἱ προάγοντες |
| αὐτὸν καὶ οἱ ἀκολουθοῦντες | καὶ οἱ ἀκολουθοῦντες |
| ἔκραζον λέγοντες, | ἔκραζον, |
| Ὡσαννὰ τῷ υἱῷ Δαυίδ· | Ὡσαννά· |
| Εὐλογημένος ὁ ἐρχόμενος | Εὐλογημένος ὁ ἐρχόμενος |
| ἐν ὀνόματι κυρίου· | ἐν ὀνόματι κυρίου· |
| | 10 Εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς ἡμῶν Δαυίδ· |
| Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. | Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. |
| 10 καὶ εἰσελθόντος αὐτοῦ | 11 Καὶ εἰσῆλθεν |
| εἰς Ἱεροσόλυμα | εἰς Ἱεροσόλυμα εἰς τὸ ἱερόν· |
| ἐσείσθη πᾶσα ἡ πόλις λέγουσα, Τίς ἐστιν οὗτος<br>11 οἱ δὲ ὄχλοι ἔλεγον, Οὗτός ἐστιν ὁ προφήτης Ἰησοῦς ὁ ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας. | |

*καὶ περιβλεψάμενος πάντα,*

*ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν*
*εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.*

128 words out of 373 words = 34%